εἶναι νομίσασα τοῦ λαλεῖν, προσέρχεται
καὶ ταῦτα δὴ τὰ κοινὰ « Φίλτατον τέκνον »
εἰποῦσα καὶ « Μέγ' ἀγαθόν· ἡ μάμμη δὲ ποῦ; »
ἐφίλησε, περιήνεγκεν. Ὡς δ' ἐπαύσατο
κλᾶον, πρὸς αὑτήν φησ[ι]ν· « Ὦ τάλαιν' ἐγώ,
πρώην τοιοῦτον ὄντα Μοσχίων' ἐγ[ὼ
αὐτὸν ἐτιθηνούμην ἀγαπῶσα· νῦν δ' [ἐπεὶ
παιδίον ἐκείνου γέγον[ε]ν, [ἤ]δη καὶ τόδ[ε
G² ............. *desunt in C uersus fere 3* .............
]α καὶ
γεγο]νέναι ».
.....].[....]... καὶ θεραπαινιδίῳ τινὶ
ἔξωθεν εἰστρέχοντι· « Λούσατ', ὦ τάλαν,
τὸ παιδίον », φησίν, « Τί τοῦτ'; Ἐν τοῖς γάμοις
P. 9 τοῖς τοῦ πατρὸς τὸν μικρὸν οὐ θεραπεύετε; ».
Εὐθὺς δ' ἐκείνη· « Δύσμορ', ἡλίκον λαλεῖς· »,
φήσ', « ἔνδον ἐστὶν αὐτός. — Οὐ δήπου γε· ποῦ;
— Ἐν τῷ ταμιείῳ », καὶ παρεξήλλαξέ τι·
« Αὐτὴ καλεῖ, τίτθη, σε », καί· « Βάδιζε καὶ
σπεῦδ'. Οὐκ ἀκήκο' οὐδέν· εὐτυχέστατα ».
Εἰποῦσ' ἐκείνη δ'· « Ὦ τάλαινα τῆς ἐμῆς
λαλιᾶς » ἀπῆξεν ἐκποδών, οὐκ οἶδ' ὅποι.
Κἀγὼ προήειν τοῦτον ὄνπερ ἐνθάδε
τρόπον ἀρτίως ἐξῆλθον, ἡσυχῇ πάνυ,
ὡς οὔτ' ἀκούσας οὐδὲν οὔτ' ᾐσθημένος.
Αὐτὴν δ' ἔχουσαν αὐτὸ τὴν Σαμίαν ὁρῶ